## 11 MARTIE

# ACATISTUL SF.CUVIOS GHEORGHE SINAITUL DE LA ARSELA

## ACATISTIER-GR

www.tezaurliturgic.ro



# ΜΑΡΤΙΟΣ ΙΑ

# ΓΕΩΡΓΙΟΣ ΟΣΙΟΣ ΑΡΣΕΛΑΪΤΗΣ ΧΑΙΡΕΤΙΣΜΟΙ

*(Νεκτάριος Μαμαλοῦγκος)*

*Κοντάκιον. Ἦχος πλ. δ΄.*

Τὸν τοῦ Σιναίου ἀσκητὴν ἐγκωμιάσωμεν, ἐν Ἀρσελᾷ ἀνύδρῳ γῇ πιστῶς οἰκήσαντα, οἱ θεόφρονες ἐν μέλεσι θεοτέρποις· ἐν παλαίσμασι καὶ ἄθλοις ὄφιν ᾔσχυνε, καὶ Χριστὸν τὸν Βασιλέα ἐμεγάλυνε, τούτῳ λέγοντες· Χαῖρε Πάτερ Γεώργιε.

Ἄνωθεν αἱ χορείαι, τῶν Ἁγίων σκιρτῶσι, καὶ γῆθεν Σιναΐται Πατέρες (γ΄), Σινὰ γὰρ τόποις καὶ ἁπανταχοῦ, μεγαλύνουσι τοὺς σοὺς ἄθλους ὦ Γεώργιε, κἀγὼ δ’ ἐξίσταμαι καὶ ἵσταμαι, κραυγάζων σοι πιστῶς τοιαῦτα·
Χαῖρε, δι’ οὗ ἡ χαρὰ ἐκλάμπει·
χαῖρε, δι’ οὗ τοὺς πιστοὺς αὐγάζει.
Χαῖρε, πεπτωκότων ἀνθρώπων ἀνάκλησις·
χαῖρε, ἀθυμούντων ψυχῶν ἡ παράκλησις.
Χαῖρε, Πάτερ ἁγιώτατε, βλῦζον χάριν μυστικήν·

χαῖρε, σκεῦος Πνευματέμφορον, θαυμαστὸν καὶ ἐν ζωῇ.
Χαῖρε, ὅτι αὐλίζει μετ' Ἀγγέλων νῦν πόλῳ·
χαῖρε, ὅτι πρεσβεύεις τῇ Τριάδι ἀπαύστως.
Χαῖρε, ἀστὴρ λαβὼν φῶς τρισήλιον·
χαῖρε, φωστὴρ λαμπρύνων τὰ πέρατα.
Χαῖρε, δι' οὗ κατεπλάγη ἡ κτίσις·
χαῖρε, δι' οὗ ἐδοξάσθη ὁ Κτίστης.
Χαῖρε, Πάτερ Γεώργιε.

Βλέπουσα Ὀρθοδόξων ἡ πληθὺς σὴν εἰκόνα, καὶ πάσας τὰς ἀρετὰς ἐκβοᾶ σοι· τὰ παράδοξά σου θαυμαστά, ἐμφανέστατα νῦν ἀληθῶς δείκνυνται. Διὸ τῷ γόνυ κλίνουσα, ἀσπαζομένη μάκαρ κράζει· Ἀλληλούϊα.

Γνῶσιν βίου σου σχῶμεν, ἐκ θαυμάτων σου Πάτερ, ἃ τόποις τοῖς ἐρήμοις εἰργάσω· ὅθεν γένος λιπών, τρυφὴν πλοῦτον καὶ ἡδέα τῆς ζωῆς ἔφυγες, καὶ Ἀρσελᾷ γῇ ἔφθασας, μονᾶσαι τοῦ βοᾶν σοι οὕτως·
Χαῖρε, Θεοῦ τῶν ἀῤῥήτων μύστης·
χαῖρε, προσευχῆς ἔνθερμος πίστις.
Χαῖρε, τῶν θαυμάτων Χριστοῦ ῥοῦς ἀείζωος·
χαῖρε, τῶν χαρίτων κρουνὸς ὁ ἀείῤῥοος.
Χαῖρε, ὁ Ἀσωμάτοις ὁμιλῶν θείοις Νόοις·
χαῖρε, ὁ τοῖς Ὁσίοις ὢν ὁμόσκηνος ἄνω.
Χαῖρε, λαμπρὸν Σιναίου ἀγλάϊσμα·
χαῖρε, σεμνὸν Ποιμένος ὑπόδειγμα.

Χαῖρε, σοφὲ μοναστῶν ποδηγέτα·
χαῖρε, καλὲ τοῦ Κυρίου ἐργάτα.
Χαῖρε, Πάτερ Γεώργιε.

Δύναμιν οὐρανόθεν ἐξαπέστειλε θείαν, πρὸς σὸν φωτισμὸν ὁ Παντεπόπτης, καὶ νοῦν εὔγνωστον εὗρε σοφέ, εἰς ὃν Θεὸς ᾤκησε. Διὸ ἔδραμες ἀσκήσασθαι ἐν τόποις ἡσυχίας, Αὐτῷ μόνον ᾄδειν·
Ἀλληλούϊα.

Ἔχιδναν μαθητήν σου θανατώσαντα σχίσας, ἀνέστησας διὰ τῆς προσευχῆς σου. Καὶ ἀγώνας ὦ Πάτερ, εὐθὺς τοὺς ἀσκητικοὺς ηὔξησας, ῥοὰς δακρύων νηστείαν καὶ ἐγκράτειαν, πόνους οὓς τιμῶμέν σοι βοῶντας·
Χαῖρε, βλαστοῦ ἀμαράντου ῥίζα·
χαῖρε, πιστῶν ἀγλαόκαρπον δένδρον.
Χαῖρε, ἀρετῶν μυροθήκη τοῦ Πνεύματος·
χαῖρε, εὐσεβῶν ὁ θειότατος ἔπαινος.
Χαῖρε, οἴκημα ἀλλότριον, κατοικίας πειρασμῶν·
χαῖρε, δαίμοσιν ὀλέθριος, πονηρῶν ἐπηρειῶν.
Χαῖρε, ὅτι προχέεις ἰαμάτων τὰ ῥεῖθρα·
χαῖρε, ὅτι βαστάζεις Ἀρσελᾶ Σκήτης κλεῖθρα.
Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα·
χαῖρε, σατᾶν τοῦ πλάνου φυγάδευμα.
Χαῖρε, Θεοῦ πρὸς ἡμᾶς σωτηρίας·
χαῖρε, ἡμῶν πρὸς Χριστὸν ἱκεσία.
Χαῖρε, Πάτερ Γεώργιε.

Ζάλης τάραχον σκότος λογισμῶν ψυχοκτίνων, ἐδίωξας καθάρας τὸν νοῦν σου· ἐν Σινᾶ ποιμὴν πατέρων γέγονας, ἐκδιδάσκων θεωρίαις καὶ πράξεσιν, ἀρετῶν τὴν κατόρθωσιν, Θεῷ εὐαρεστεῖν καὶ ψάλλειν· Ἀλληλούϊα.

Ἤκουσαν Σιναΐται τὴν σὴν φήμην καὶ τούτων, σὺ καθηγούμενος κατεσστάθης. Πίθον ἕναν κενὸν ἐλαίου, δεόμενος Πάτερ θαυμαστῶς ἔπλησας, οὐ πάντας τοὺς αἰτοῦντος θαῦμα μέγα, διὸ νῦν ἡμᾶς ἀξίωσον σοὶ λέγειν·
Χαῖρε, ἀγνώστου πατρίδος γόνος·
χαῖρε, Ἀρσελᾶ τῆς λαύρας κλέος.
Χαῖρε, ἀλλοτρίων ἐχθρῶν ἀμυντήριον·
χαῖρε, τῆς ἐρήμου καλὸν οἰκητήριον.
Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ·
χαῖρε, ὅτι τὰ περίγεια τὰ σὰ θαύματα ὑμνεῖ.
Χαῖρς, τῶν διδασκάλων θεοκίνητον στόμα·
χαῖρε, τῶν μοναζόντων ἀκατάβλητον θάῤῥος.
Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα·
χαῖρε, λαμπρὸν συγγνώμης παράδειγμα.
Χαῖρε, δι’ οὗ κατησχύνθη ὁ ἅδης· χαῖρε, δι’ οὗ ἐπατήθη βελίαρ.
Χαῖρε, Πάτερ Γεώργιε.

Θαυματόβρυτος ὤφθης, πανσεβάσμιε Πάτερ, τῇ πίστει ὦ Γεώργιε στῦλος. Διὸ θαύμασι πλείστοις λαός,

παρὰ σοῦ ἰάθη ἀληθῶς ζῶντός σου, ἀλλὰ καὶ μετὰ πότμον σου, ὠφέλησας πιστοὺς βοῶντας·
Ἀλληλούϊα.

Ἴσα πᾶσι δικαίως, ἀποδίδως θεόφρον, ἐν ἔργοις κηρύττων δικαιοσύνην· ὡς φιλάδελφον ὁρῶντες, ἡ ἀκούοντά σε ἔσπευε λαὸς ἐλεημοσύνην ἵνα λάβῃ, παρὰ σοῦ τοῦ ἀγαθοδότου, πόθῳ λέγων·
Χαῖρε, Σινᾶ τῆς ἐρήμου θρέμμα·
χαῖρε, λαοῦ εὐσεβοῦντος κέρας.
Χαῖρε, ψευδωνύμων δαιμόνων ὁ ἔλεγχος·
χαῖρε, τῆς Τριάδος ὕμνος ὁ ἀσίγητος.
Χαῖρε, ἔχιδναν ἰόρευστον, θανατώσας σαῖς χερσί·
χαῖρε, νέκρωσιν διώξασα, ἐπικλήσει θεϊκῇ.
Χαῖρε, στίφη βαρβάρων ἀποτρέψας ἐκ λαύρας·
χαῖρε, πλάνου παγίδας διαβὰς ἀκωλύτως.
Χαῖρε, ἀπίστων ἔνθεον κήρυγμα·
χαῖρε, πιστῶν πραότητος γνώρισμα.
Χαῖρε, κανὼν ἀρετῆς σωφροσύνης·
χαῖρε, βροτῶν ζυγὸς δικαιοσύνης.
Χαῖρε, Πάτερ Γεώργιε.

Κήρυκες θαυμασίων, παραδόξων ὑπῆρξαν, παντάπασι Σιναίου πατέρες. Καὶ ἐν τῇ Σιῷν ἱερουργῶν, Πατριάρχης εἶδέν σε, καλέσας μένειν συμφάγεσθαι τραπέζῃ ὦ παμμάκαρ, ἀλλ’ ἔφυγες Θεῷ μέλπειν·
Ἀλληλούϊα.

Λάμψας ἐν τῷ Σιναίῳ, ὡς ἀστὴρ ἐπανῆγες, Γεώργιε εἰς ἄνυδρον τόπον. Κἀκεῖ ἔθρεψας πίστει λαοῖς, ἐν λόγοις καὶ ἔργοις ἀγαθοῖς Ὅσιε, σημείων δὲ πλησθέντες ἅπαντες, ἐβόων σοι ἀσμένως ταῦτα·
Χαῖρε, ἀνύψωσις εὐσεβούντων·
χαῖρε, ἡ ἴασις ἀσθενούντων.
Χαῖρε, Ἐκκλησίας ἀστὴρ τηλαυγέστατος·
χαῖρε, τοῦ Σιναίου φωστὴρ ἀξιάγαστος.
Χαῖρε, θάλασσα βυθίζουσα πειρασμοὺς τοὺς πονηρούς·
χαῖρε, κρήνη μῦρα βλύζουσα, καταρδεύοντα πιστούς.
Χαῖρε, πύρινε στῦλε προσευχῶν ἐν ἐρήμοις·
χαῖρε, φύλαξ Πατέρων κοινωνὲ τῶν Ὁσίων.
Χαῖρε, τροφὴ πεινώντων ἀκένωτος·
χαῖρε, ποιμὴν ποιμένων ὁ πάντιμος.
Χαῖρε, πιστῶν ὁδηγὲ ἀληθείας·
χαῖρε, ἐξ οὗ ῥεῖθρα χέοντα θεῖα.
Χαῖρε, Πάτερ Γεώργιε.

Μέλλοντος εἰσιέναι, ἐν σπηλαίῳ προσεύχει, παράδοξα σημεῖα ἐτέλεις, θαυμασίων οὖν πληρῶν πολλούς, οὐχ’ ἐπαίνων θέλων εὐθὺς Πάτερ ἔφευγες, πάντας δεῖ, εὐχαριστίαν δοῦναι ἔλεγες τῷ ΠλάσΤῃ, κράζων·
Ἀλληλούϊα.

Νίκας τοῖς βασιλεῦσι, σαῖς εὐχαῖς μάκαρ ἔπεμψας, τῷ Γένει τῶν Ἑλλήνων προστατεύων· ἐκ πολέμων

βαρβάρων λαῶν, καὶ κινδύνων τῶν αἱρετικῶν, ἵνα μὴ τῇ πίστει βλάπτεσθαι, θάῤῥους σοῖς ῥήμασι πληρῶν, τοὺς βοῶντας·
Χαῖρε, ὁ τῦπος της ἐγκρατείας·
χαῖρε, ὁ στῦλος αὐστηρᾶς νηστείας.
Χαῖρε, ἡ ἀντίληψις πάντων ἡ εὔπορος·
χαῖρε, πεζοπόρων βοήθεια εὔοδος.
Χαῖρε, αὖρα θείου Πνεύματος, ἐξ οὗ σώζονται πιστοί·
χαῖρε, λαύρα ἁγιότητος, πρὸς ἣν σπεύδουσι βροτοί.
Χαῖρε, Γένους Ἑλλήνων πρὸς Θεὸν παραστάτης·
χαῖρε, τῶν μοναζόντων ὁδηγὸς καὶ προστάτης.
Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις·
χαῖρε, μετανοούντων θεία συγχώρησις.
Χαῖρε, στολὴ ἀρετῶν ἡ ἁγία·
χαῖρε, τρυφὴ ποθητοῦ Παραδείσου.
Χαῖρε, Πάτερ Γεώργιε.

Ξένα ὄντως ὁρῶμεν, ὦ Γεώργιε Πάτερ, τὰ τελούμενα φρικώδη θεόθεν. Βιώσας ἑβδομήκοντα χρόνοις Σινᾷ, καύσωνα καὶ ψῦχος καρτερῶς γὰρ ὑπήνεγκας, νηστεύων καὶ διώκων τῶν δαιμόνων τὴν πληθύν, καὶ φάσκειν·
Ἀλληλούϊα.

Ὅλος φῶς ἐξαστράπτων, προσευχῆς θεαρέστου, δοχεῖον τοῦ Πνεύματος ἐγένου. Κατεσκήνωσε γὰρ ἀληθῶς, παν τὸ πλήρωμα ἐν σοὶ τῆς Θεότητος· ἡμεῖς

δὲ τὰ σὰ γνῶντες σοφὲ ἆθλα, ἐν ᾄσμασι πιστῶς βοῶμεν·
Χαῖρε, Θεοῦ μυστηρίων πύλη·
χαῖρε, σεμνὴ σωφροσύνης στήλη.
Χαῖρε, κακοδόξων δριμύτατος ἔλεγχος·
χαῖρε, Ὀρθοδόξων ἐξαίρετος ἔπαινος.
Χαῖρε, νέφος ὑπερθαύμαστον, ὁδηγοῦν σε πρὸς Σιών·
χαῖρε, κάτοπτρον τοῦ Πνεύματος, καὶ οἰκήτωρ οὐρανῶν.
Χαῖρε, ὁ πενομένους ἀδελφοὺς διαθρέψας·
χαῖρε, ὁ πλανωμένους εἰς ὁδοὺς ὁδηγήσας.
Χαῖρε, δι’ οὗ ἀλλότριοι φεύγουσι·
χαῖρε, δι’ οὗ πολέμιοι ἥττηνται.
Χαῖρε, σοφὲ ἀσκητῶν ποδηγέτα·
χαῖρε, στεῤῥὲ τοῦ σατᾶν καθαιρέτα.
Χαῖρε, Πάτερ Γεώργιε.

Πᾶσα φύσις Ἀγγέλων, κατεπλάγη ὁρῶσα, σοῦ τὸν ἔνσαρκον ἰσάγγελον βίον· ὁ ἀπρόσιτος γάρ σε Θεός, χαριτώσας ζῶντα, θαυμαστὸν Πάτερ, μετὰ τέλος πᾶσιν ἔδειξε, θαυματουργοῦντα πιστοῖς, τοῖς κράζειν οὕτως·
Ἀλληλούϊα.

Ῥήτορας ἀπιστίας, ἐτροπώσω γενναίως, σοφῇ σου ὀρθῇ διδασκαλίᾳ. Κακοδόξους γὰρ πλάνους, δεισιδαιμονούντας μάκαρ, πρὸς φῶς ἴθυνας,

κηρύττων ὀρθοδόξως, ἀνοθεύτως τε Χριστόν, διὸ σοὶ φάσκω ταῦτα·
Χαῖρε, Σοφίας Θεοῦ δοχεῖον·
χαῖρε, χαρίτων Αὐτοῦ ταμεῖον.
Χαῖρε, ἀθεΐας ἀμφίστομος μάχαιρα·
χαῖρε, κακοτρόπων ὀξύτατον φάσγανον.
Χαῖρε, ὅτι κατησχύνθησαν οἱ δεινοὶ αἱρετικοί·
χαῖρε, ὅτι κατηυφράνθη σοι, γῆ ἡ Σιναϊτική.
Χαῖρε, καθηγουμένων ἐγκαλλώπισμα θεῖον·
χαῖρε, τῶν μοναζόντων ὁ ταχὺς ἀντιλήπτωρ.
Χαῖρε, φωτὸς Ἡλίου ἀπαύγασμα·
χαῖρε, πιστῶν ἀνθρώπων διάσωσμα.
Χαῖρε, ὁ γνοὺς τῶν δαιμόνων παγίδας·
χαῖρε, ὁ δοὺς αὐτοῖς κτύπημα μέγα.
Χαῖρε, Πάτερ Γεώργιε.

Σῶσον πάντας λιταῖς σου, πανσεβάσμιε Πάτερ, Κυρίῳ δυσωπῶν ἀεννάως· ἐν χαρᾷ Εἰκόνα εὐλαβῶς σὴν ἀσπαζόμεθα, καὶ τιμὴν δίδομεν· ἀντίδος οὖν τὰ κρείττονα, τοῖς μέλπουσιν τὸν ὕμνον οὕτως· Ἀλληλούϊα.

Τάξεις τῶν Ἀσωμάτων, ἐκμετρήσαντος βίον, ἐδέξαντο τὸ σὸν Πάτερ πνεῦμα. Ὁ γὰρ Δημιουργὸς παναληθῶς, καθηγίασέ σε θαυμαστῶς ἔνδοξε, Ὃν εὐηρέστησας ἄθλοις, διδάξας οὕτω τοῖς πιστοῖς φωνεῖν σοι·
Χαῖρε, ὁ στῦλος τῆς παρθενίας·
χαῖρε, ὁ φάρος τῆς εὐσπλαγχνίας.

Χαῖρε, ὁδηγὸς μοναστῶν καὶ διδάσκαλος·
χαῖρε, Ἀρσελᾶ γῆς ὁ ἔνσαρκος ἄγγελος.
Χαῖρε, σὺ γὰρ ἐξανέστησας ἐκ τοῦ θανάτου μαθητήν·
χαῖρε, σὺ ὅτι ἀπήλλαξας ἐκ τῶν βαρβάρων τὴν Μονήν.
Χαῖρε, ὁ κοινωνήσας εἰς Σιὼν τὴν Ἁγίαν·
χαῖρε, τῷ Πατριάρχῃ ὁ αἰτήσας συγγνώμην.
Χαῖρε, κλεινὸν Σινᾶ ἀγαλλίαμα·
χαῖρε, πιστῶν Πατέρων ἐντρύφημα.
Χαῖρε, ταχὺς ἀντιλήπτωρ καὶ ῥύστης·
χαῖρε, θερμὸς πρὸς Δεσπότην μεσίτης.
Χαῖρε, Πάτερ Γεώργιε.

Ὕμνους θείους προσδέχου, ὦ Γεώργιε μάκαρ, οὓς πέμπομεν πιστῶς ἐκζητοῦντες, ἵνα ῥύσῃς νοσημάτων ἡμᾶς, πειρασμῶν ποικίλλων συμφορῶν θλίψεων, παθῶν πυρὸς κολάσεως, πρὸς Κύριον λιταῖς σαῖς, τοὺς βοῶντας·
Ἀλληλούϊα.

Φωτοδότην Δεσπότην ἐξευμένισας Πάτερ, πολιτευσάμενος Αὐτῷ ὁσίως· ἐν σοὶ γὰρ ἄϋλον ᾤκησε Φῶς, ὁδηγοῦν πρὸς γνῶσιν τοῦ Θεοῦ ἄριστον, διὸ κἀμεῖς κηρύττοντες Χριστοῦ τὰ μεγαλεῖα, σοὶ βοῶμεν·
Χαῖρε, ἐρήμου Σιναίου πῦργος·
χαῖρε, ἡμῶν ῥωμαλέον σφρῖγος.
Χαῖρε, εὐλαβῶν τὰς ψυχὰς ἅπτων Πνεύματι·
χαῖρε, Λαύρας Ἀρσελᾶ τὸ καύχημα Ἅγιε.

Χαῖρε, ὅτι τὰ οἰδήματα θεραπεύεις ἀληθῶς·
χαῖρε, ὅτι ψυχοτραύματα ἐπουλώνεις θαυμαστῶς.
Χαῖρε, προσευχομένων βοηθὸς καὶ προστάτης·
χαῖρε, τῶν ἀθυμούντων χαρωπὸς παραστάτης.
Χαῖρε, λαμπτὴρ φωτίζων τὰ πέρατα·
χαῖρε, πολλῶν εὐφραίνων νοήματα.
Χαῖρε, φωτὸς τοῦ Χριστοῦ θεῖος φάρος·
χαῖρε, πιστῶν ἀνυπέρβλητον θάῤῥος.
Χαῖρε, Πάτερ Γεώργιε.

Χάριν δίδου τοῖς πίστει, ὦ Γεώργιε θεῖε, ἐν ὕμνοις σὴν εἰκόνα τιμῶσι. Πόθον δώρησαι ἅγιον, καρποὺς πνευματικοὺς ζῆον ἀρετῶν ἔνθεον, προθύμους ἡμᾶς πρὸς μετάνοιαν, καλὴν ἀπολογίαν Θεῷ ψάλλειν· Ἀλληλούϊα.

Ψάλλομεν θεῖα μέλη, εὐφημοῦντές σε Πάτερ, φιλέορτοι πιστοὶ Σιναῖται. Διὸ τὴν σὴν τιμῶμεν μνήμην, ἐν καιρῷ νηστείας νήφοντες εὐχόμενοι, αἰτήματα προσφέρομεν, ἃ πρόσδεξαι καὶ δὸς τὰ κρείττω, τοῖς σοὶ μέλπειν·
Χαῖρε, στολὴ εὐπρεπείας θεία·
χαῖρε, ἁπάντων Ἁγίων φίλος.
Χαῖρε, κιβωτὲ καὶ ναὲ ἁγιάσματος·
χαῖρε, θησαυρὲ καὶ κρουνὲ θείας χάριτος.
Χαῖρε, ἄρχουσι κραταίωμα, σωτηρία εὐσεβῶν·
χαῖρε, καύχημα σεβάσμιον, ἱερέων εὐλαβῶν.
Χαῖρε, τῆς Ἐκκλησίας τὸ ἀσύλητον γέρας·

χαῖρε, τῶν Ὀρθοδόξων τὸ παμπόθητον κέρας.
Χαῖρε, δι’ οὗ ἠύγάσθη τὸ Σίναιον·
χαῖρε, δι’ οὗ κατηυφράνθη ἡ ἔρημος.
Χαῖρε, πιστῶν ταπεινῶς ζώντων φύλαξ·
χαῖρε, ψυχῶν σωτηρίας ὁ πρέσβυς.
Χαῖρε, Πάτερ Γεώργιε.

Ὢ σεβάσμιε Πάτερ, Ἀρσελᾶ θεῖον κλέος, Ἁγίων ἐπουράνιε μύστα (γ΄), τοῖς μέλπουσι τόνδε τὸν ὕμνον, ἀνταπόδος σωτηρίαν ψυχῆς, Σιναΐτας δέ, καὶ ἡμᾶς ῥῦσαι κολάσεως, τοὺς συμβοώντας·
Ἀλληλούϊα.